## *ARGUMENTA*

### *(a)*

### ΥΠΟΘΕΣΙΣ ΜΗΔΕΙΑΣ

(1a) Ἰάσων εἰς Κόρινθον ἐλθών, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται καὶ τὴν τοῦ Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ τοῦ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐπὶ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ᾽ Ἡλίου ἔλαβεν, ἔποχος γενομένη ἀποδιδράσκει εἰς Ἀθήνας κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης (*FGrHist* 3 F 113a) δὲ καὶ Σιμωνίδης (*PMG* 548 = fr. 270 Polt.) φασὶν ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειεν.

(1b) περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως (fr. 7 Bern.)· "αὐτίκα δ᾽ Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα / γῆρας ἀποξύσασ᾽ εἰδυίῃσι πραπίδεσσι / φάρμακα πόλλ᾽ ἕψουσ᾽ ἐπὶ χρυσείοισι λέβησιν". Αἰσχύλος δ᾽ ἐν ταῖς Διονύσου τροφοῖς (fr. 246a R.$^2$) ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησεν. Στάφυλος (*FGrHist* 269 F 11) δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν οὕτως ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν.

(2) τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος (fr. 15 Sn.-K.) διασκευάσας, ὡς Δικαίαρχος <ἐν    > τοῦ τῆς Ἑλλάδος βίου (fr. 63 Wehrli) καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασιν (fr. 635 Rose = 774 Gigon). μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλαχέναι τὴν ὑπόκρισιν τὴν Μήδειαν, ἀλλὰ προπεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν τῷ Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία "μηδ᾽ ἐν νάπαισι" (v. 3) καὶ τὰ ἑξῆς· ὅπερ ἀγνοήσας Τιμαχίδας (fr. 15a Blinkenberg) τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι, ὡς Ὅμηρος (*Od.* V 264)· "εἵματα δ᾽ ἀμφιέσασα θυώδεα καὶ λούσασα".

### ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ

(3) Μήδεια, διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν τῷ ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα καὶ τοὺς ἰδίους υἱούς, ἐχωρίσθη δὲ Ἰάσονος Αἰγεῖ συνοικήσουσα. παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

(4a) ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων.

(4b) προλογίζει δὲ τροφὸς Μηδείας.

(5) ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ ἔτει α.

(6) πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ Φιλοκτήτῃ Δίκτυι Θερισταῖς σατύροις. οὐ σῴζεται.

(7) τὰ τοῦ δράματος πρόσωπα· τροφός, παιδαγωγός, Μήδεια, χορὸς γυναικῶν, Κρέων, Ἰάσων, Αἰγεύς, ἄγγελος, παῖδες Μηδείας.

‖ (1a) **BOVcDWFAVHn L$^2$P** | (1b) **BDWFAVHnNv L$^2$P**; (1b αὐτίκα–ἐνεοποίησεν) cf. *schol.* Ar. *Eq.* 1321a-b; (1b αὐτίκα–λέβησιν) cf. *Chr. pat.* 940, 938, 936 | (2) **DWFAHnNv P *Ambr.* O 123 sup.**; (2 ὡς Δικαίαρχος–) **V**; (2 καὶ ἡ ἐπεξεργασία–λούσασα) cf. *schol.* **B** Eur. *Med.* 1 | (3) **BDFAHnNv P** | (4a-b) **BDWAP** | (5) **DFAHnNvP** | (6) **DFHnNvP** | (7) **BOVcDWFAVHnNv LP** ‖ **tit.** ὑπόθεσις Μηδείας codd. pll. : ὑ- Εὐριπίδου Μ- **AP** : Μ- ὑ- **L$^2$** : om. **WHn** : ord. mut. **Nv** ‖ **1** ἐλθών om. **W** | καὶ τὴν codd. pll. : κ- τ- τοῦ **VHnP** : τὴν τοῦ **Vc** ‖ **1s.** Κορινθίων βασιλέως codd. pll. : β- Κ- **L$^2$P** ‖ **2** Γλαύκην πρὸς γάμον om. **Hn** (Γλαύκην in mg. add. **Hn$^2$**) | ἡ om. **F** | τοῦ Κρέοντος **A** : Κ- codd. pll. : Κ- τ- **V** | τῆς om. **VcL$^2$P** ‖ **3** πρὸς codd. pll. : ὡς **DWF** : om. **A** : εἰς Nauck ‖ **4** ἐσθῆτα codd. pll. : καὶ ἐ- **D** | χρησαμένη **BOVcAHnL$^2$** : διαχ- **DWFVHnP** | διαφθείρεται codd. pll. : φθ- **Vc** | δὲ om. **WFL$^2$** ‖ **5** ἀπόλλυται **B** : συναπ- **L$^2$** : ἀπώλετο codd. pll. | παῖδας codd. pll. : υἱοὺς **L$^2$** : om. **P** | ἐπὶ codd. pll. : ὑπὸ **Vc** ‖ **5s.** παρ' Ἡλίου codd. pll. : π- τοῦ Ἡ- **L$^2$P** ‖ **6** κἀκεῖσε codd. pll. : κἀκεῖ **L$^2$P** | Πανδίονος codd. pll. : -ωνος **O** : -ωνος υἱεῖ **Vc** ‖ **7** καὶ om. **O** | ἡ Μήδεια om. **DWFHn** (add. in mg. **Hn$^2$**) | ἀνεψήσασα codd. pll. : ἑψήσασα (fere) **DWFAHn** : ἀφεψήσασα Elmsley (cl. *schol.* Ar. *Eq.* 1321a ἀφεψήσας: καλῶς ὡς μάγειρος, ὥσπερ ἡ Μήδεια λέγεται τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι) | Ἰάσονα codd. pll. : -ωνα **DA$^{ac}$** ‖ **8** ποιήσειε(ν) codd. pll. : ἐποίησε **HnL$^2$** : ἐποιήσειεν **W** ‖ **9** δὲ τοῦ πατρὸς codd. pll. : τ- π- δὲ **A** | αὐτοῦ om. **Nv** | ποιήσας φησὶν codd. pll. : φ- π- **Hn** | αὐτίκα codd. pll. : ὅτου **D** ‖ **10** φίλον κόρον codd. pll. : φιλόκορον **V** : φ- κοῦ- **Hn** et *Chr. pat.* | ἡβώοντα **BANvL$^{2ac}$** : ἡβόω- **DWFVL$^{2pc}$P** (utrumque *Chr. pat.* codd.) | ἀποξύσασ' codd. pll. : ἀποψ- **Hn** : ἀποξύς **Nv** | εἰδυίῃ(ι)σι **DWFVL$^{2man.rec.\ in\ mg.}$** : εἰδείησι **AHn** : ἰδυίησι **B** et *schol.* Ar. : ἰδίῃ(ι)σι **A$^s$L$^2$P** | πραπίδεσσι codd. pll. : -εσι **D** | ἐπὶ codd. : ἐνὶ Schneidewin ‖ **11** χρυσείοισι **L$^2$** et *schol.* Ar. : -έοισι codd. pll. : χρυσίῃσι **V** : -είησι **Hn** | ταῖς codd. pll. : τοῖς **A** | Διονύσου del. Elmsley | τροφοῖς codd. pll. : -αῖς **VHnP** | ὅτι om. **Hn$^{ac}$** | καὶ om. **WF** | τὰς Διονύσου τροφοὺς codd. pll. : τ- τοῦ Δ- τρ- **A** ‖ **12** ἀνεψήσασα : ἀφ- Elmsley | ἐνεοποίησεν codd. pll. : ἐζωοποίησε(ν) **L$^2$P** | φησι om. **V** | τὸν Ἰάσονα omm. **DWFHnNv** (Ἰάσονα add. **Hn$^{2s}$** post ὑπὸ τῆς Μηδείας) ‖ **13** ὑπὸ τῆς Μηδείας ante τὸν Ἰάσονα **V** | ἐγκελεύσασθαι Lascaris : ἐκκ- codd. | αὐτὴν οὕτως **BAVL$^2$P** : οὕ- αὐ- **Hn** : -τῇ οὕ- **WF** | Ἀργοῦς codd. pll. : νεὼς **A** ‖ **14** μελλούσης τῆς νεὼς codd. pll. : τῆς Ἀργοῦς μελλούσης **A** | ἐπιπεσούσης codd. pll. : ἐμπ- **VHn** | γοῦν codd. pll. : γ' οὖν **B** : οὖν **Hn** : γὰρ **VL$^{2ac}$P** | τῆς πρύμνης codd. pll. : τ- π- τῆς νεὼς **A** ‖ **15-20** (2) post (4b) **P** ‖ **15** τὸ–ὑποβαλέσθαι tantum praeb. **V** | ὑποβ- codd. pll. : παραβ- **Hn** | παρὰ Νεόφρονος codd. pll. (Νεώφ- **D**) : γενναιοφρόνως **A** : πάνυ εὐφρόνως **Hn** : παναιόφρονος **P** et ***Ambr.*** ‖ **15s.** ὡς–ὑπομνήμασι omm. **P** et ***Ambr.*** ‖ **16** ἐν <α> (vel sim.) Klotz : ἐν <γ> suppleverim | τοῦ τῆς **W** : τοῦ τε **DFHn** : περὶ τοῦ τε **A** | Ἑλλάδος **DA** : Ἑλλάδι **F** : Ἑλλάδ **W** | Ἀριστοτέλης codd. pll. -ους **Hn$^s$** | τὸ **D** : τῷ codd. pll. : om. **P** ‖ **17** πεφυλαχέναι : -κέναι codd. pll. : πεφυκέναι **P** et ***Ambr.*** | τῇ Μηδείᾳ codd. : τὴν -αν Beck | προπεσεῖν Kirchhoff : προσπ- codd. : πεσεῖν **A** | τῷ **WF** : omm. codd. pll. ‖ **18** ἐπεξεργασία codd. pll. : ἐξ- ***Ambr.*** ‖ **19** Τιμαχίδας codd. pll. : Τιμαχίας **P** et ***Ambr.*** | φησὶ πρώτῳ codd. pll. : π- φ- **P** et ***Ambr.*** | κεχρῆσθαι codd. pll. : κέχρηνται ***Ambr.*** ‖ **20** δ' codd. et *schol.* **B** : τ' Brunck ex *Od.*, recc. Diggle, van Looy ‖ **21 tit.** Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις **DHn** : ἄλλως. Ἀ- γ- ὑ- **B** : Ἀ- γ- ὑ- Μηδείας **A$^{ras}$Nv** : omm. **FP** ‖ **22** διὰ codd. pll. : διαφοροῦσα **Hn** | Ἰάσονα codd. pll. : τὸν Ἰ- **A** | τὴν Κρέοντος θυγατέρα codd. pll. : τ- Γλαύκην θ- **P** : τ- Κ- θ- Γ- Diggle ‖ **23** Γλαύκην καὶ Κρέοντα **HnP** : Γ- Κ- **DFANv** : Κ- (Γ- sscr.) **B** : ταύτην καὶ Κ- Schwartz, rec. Diggle | συνοικήσουσα Lascaris : -σασα codd. | οὐδετέρῳ codd. pll. : -ου **FHn** ‖ **25s.** (4a-b) post (7) **DW** : om. **FVHnNv** | (4a) post (5) **A** | (4b) post (7) **Vc** (δὲ om.) **A** ‖ **27** ἐδιδάχθη **FAP** : ἐ- δὲ **DNv** | ἐπὶ **DFP** : ὑπὸ **AHn** | Πυθοδώρου Brunck : Πυθιο- codd. | ὀλυμπιάδι **DF** : -δος **HnP** : -πι **A** | ἔτει α Matthiae : ἔτει ' **Hn** : ει **F** : ιδ εἶ **D** : δε **A** : ἴδε **Nv** : om. **P** ‖ **28** Μηδείᾳ **D** : Μήδεια codd. pll. | Φιλοκτήτῃ **F** : -της codd. pll. | Δίκτυι Kirchhoff : -τι **D** : -της **P** ‖ **28s.** Δίκτυι–σώζεται om. **Hn** | Θερισταῖς

σατύροις Kirchhoff : -ταὶ σάτυρος codd. ‖ **30s.** personas hoc ordine **O** : τρ-, Κρ-, παῖ- Μη-, πα-, Ἰά-, χο- γυ-, Αἰ-, Μή-, ἄγ- codd. pll. (τρ- om. **C**) : τρ-, πρεσβύτης, Κρ-, παῖδες, Αἰ-, Μή-, ἄγ- **A** : τρ-, Κρ-, πα-, Μή-, χο- γυ-, Αἰ-, Ἰά-, παῖδες, ἄγ-

*(b)*

B̅ Μήδεια, ἧς ἀρχ[ή

ε]ἴθ᾽ ὤφελ᾽ Ἀργοῦς μὴ δ[ιαπτάσθαι σκάφος. ἡ δ᾽ ὑπόθεσις·<br>
](.)τὸν Πελίου φόνον .[<br>
]γενόμενος ἦλθεν ε[ἰς Κόρινθον Μήδει-<br>
]ạν παραịτησαμενο[- Κρέον-<br>
]ṭος τοῦ βασιλεύοντος[ ἡ δὲ Μή-<br>
]δεια βάρβαρον τρόποṿ[<br>
]ṭα θυμὸν ἐβούλετο τ.[<br>
...]ωṿ λαβεῖν· ὁ δὲ Κρέ[ων<br>
..].ẹ[.] ἐκέλευσεν μετὰ [<br>
φυ[γάδ]α γẹṿέσθαι ...[<br>
ην αἰτησαμένης .[ συνεχώ-<br>
ρησεν· ἡ δ᾽ ἐṿταῦθα π̣[ πε-<br>
ρ̣ịεγενήθη· τὸν γὰρ π̣[<br>
Αἰγέα κατὰ τύχην ἐπ[- (ἑ)αυ-<br>
τὴν ὑποδέξασθαι [<br>
ὑποκριθεῖσα⟦ν⟧ π̣ρ̣ọ[ κο-<br>
μίζοντας δῶρα τῇ̣ [Γλαύκη χρυ-<br>
σοῦν στέφανον, οἷ[ς<br>
μετὰ ἀṿịας ἀπέλιπ̣[ε<br>
ἀπέδ̣ρ̣[υ]ψεν· ὁ δὲ π[ατὴρ βο-<br>
ηθεῖν δὲ τῇ̣ θυγατρὶ [<br>
ṭῆς ἀποσ̣π̣ά̣σ̣αι ṭα..[<br>
...εκρ̣...[...]...[<br>
π̣ẹ.ρ̣ạ...[...]ε...[

‖ **Π**[15] (ed. M. Papathomopoulos, «RecPap» III, 1964, 37-47) ‖ **1** B̅ scil. haud dubie post Peliadas quibus referri arg. prius potest ‖ **2** suppl. ed. pr. : post σκάφος, Ἰάσων δι- Luppe ‖ **3** δι]ạ̀ Papathomopoulos : (δι-|)ὰ Luppe, «sed num quid ante τὸν scriptum sit incertum est», Diggle | δ̣[ιαπραξάμενος (Barrett) Ἰάσων καὶ φυγὰς Page : Ἰ̣[άσων φυγὰς ἐξ Ἰωλκοῦ ed. pr. : κ̣[αταλιπὼν τὴν Ἰωλκὸν καὶ φυγὰς Luppe ‖ **4s.** ε[ἰς Κόρινθον καὶ ἐνταῦθα Μήδει-]|αν ed. pr. : ε[ἰς Κ- ἐπαγόμενος Μή- Barrett ‖ **5s.** παραιτησάμενο[ς ἔγημε Γλαύκην τὴν Κρέον-]|τος ed. pr. : π- δὲ ταύτην ἠγγυήσατο τ- Κ- Barrett : παραιτησαμένο[υ δ᾽ ἐκείνου γυναῖκα τ- Κ- Luppe ‖ **6s.** [ἐν Κορίνθῳ θυγατέρα· ἡ δὲ Μή|]δεια ed. pr. : [ἐνταῦθα θ- Γλαύκην· ἡ δὲ Μ- Barrett : [ἐκεῖ θ- Γ-· ἡ δὲ Μ- Luppe ‖ **7-9** τρόπο[ν ἑαυτῆς ἀποφαίνουσα κα-]|τὰ θυμὸν ἐβούλετο τι̣[μωρίαν ὑπὲρ τούτων τῶν | γάμ]ων λαβεῖν ed. pr. : τ- [ἐμφανίζουσα καὶ ὑπερoργισθέν-]|ṭα (ἐ- κ- περιοργ- Barrett) θ- ἐ- τε[ιμωρίαν (Austin) ἕνεκα τῶν ἐπεισάκτων | γ- (κακ]ῶṿ Diggle) λ- Page : τ- [ἔχουσα καὶ ἀκραχολοῦν-]|ṭα θ- ἐ- τὴ[ν πρέπουσαν δίκην τῶν πεπραγ-|μέν]ων λ- Luppe ‖ **9** ὁ δὲ Κρέ[ων φοβούμενος (vel δεδοικὼς) χολώσασθαι ed. pr. : Κ- δεδιὼς τὸ δυσκατάλλακτον Barrett : Κ- φ- τὴν ὀργὴν Luppe ‖ **10** αὐτ]ὴ[ν] ed. pr. αὐ]ṭῆ[ς] Page ‖ **10s.** [τῶν παίδων τῆς χώρας αὐτίκα | φυ[γάδ]α γẹṿέσθαι Barrett : [τ- π- αὐτὴν τ- χ- | φ- γ- Luppe : [τ- π- (vel τέκνων) ἀπὸ τ- χ- εὐ-|θ]ὺ[ς ἀπ]α[γαγ]έσθαι ed. pr. ‖ **11s.** ṭῆ̣ς [δ᾽ ἀναβολὴν βραχεῖαν εἰς παρασκευ-]|ὴν ed. pr. : τ- [δ᾽ ἀ- εἰς προκατασκευ-]|ὴν Luppe : ἡ̣[μέραν δὲ μίαν ἔτι καταμεῖναι ed. pr. ‖ **12s.** .[ Κρέων συνεχώ-]|ρησεν ed. pr. : μ̣[ίαν ἡμέραν ἐπικαταμεῖναι (ἐπι- Barrett) σ- Page : μ- ἡ- μεῖναι αὐτῇ σ- Luppe (vel μ̣[εῖναι μ- ἡ- αὐ- σ- Luppe ap. van Looy) ‖ **13** ἡ δ᾽ ἐνταῦθα (δ᾽ ἐṿ- vel δὲ ἐṿ- Diggle) ed. pr. | π̣[ Barrett (qui π̣[ροσδιατρίβουσα δόλῳ τῶν ἐχθρῶν prop. : π̣[αρασκευάσασα δόλον Snell) : ṭ[ ed. pr. (ṭ[ῶν ἑαυτῆς ἐναντίων δόλῳ Luppe) ‖ **13s.** leg. et suppl. Page : |..εγενη· ἐπὶ ed. pr. ‖ **14** τὸν γὰρ Π̣[ανδίονος υἱὸν (vel τ- γ- ṭ[ῶν Ἀθηναίων βασιλέα) ed. pr. : τ- γ- Π[- υἱ- βασιλέα δ᾽ Ἀθηνῶν Page : τ- γ- Π[- τοῦ βασιλέως υἱ- Luppe ‖ **15s.** ἐπ[ελθόντα καὶ ὀμόσαντα αὐ-]|τὴν ed. pr. : ἐπ[ιφανέντα παρέπεισεν ἐφέστιον αὐ- Barrett : ἐπ[ιφ- κατέλαβεν ὅρκοις ἑαυ-]|τὴν Diggle : ἐπ[ιφ- ἐξορκώσασα ἑαυ- Luppe ‖ **16** [εἰς Ἀθήνας ed. pr. | in fine εὐοργησίαν Page : καὶ μεγαλοψυχίαν Luppe ‖ **17** π̣ρ̣ὸ[ς Ἰάσονα Page ({ν}π̣ρ̣ọ leg. Barrett) : ṿω̣θ̣ρ̣ẹ[ίαν ed. pr. ‖ **17s.** [ἔπεμψε τοὺς παῖδας κο-]|μίζοντας ed. pr. : [τ- π- ἔ- κ- Page ‖ **18s.** [Γλαύκῃ πέπλον καὶ χρυ-]|σοῦν ed. pr. : [Γ- π- πολυτελῆ κ- χ- Barrett : [λεπτὴν ἐσθῆτα κ- χ- Luppe ‖ **19s.** οἷ[ς ἐκείνη αὐτίκα χρησαμένη ed. pr. : οἷ[ς ἐ- διαχρ- Luppe : οἷ[ς ἐ- κατακοσμηθεῖσα τὸν βίον Barrett ‖ **20** μετὰ ἀṿịας Page : μετ᾽ ἀγω̣ṿίας ed. pr. | ἀπέλιπ̣[ε τὸν βίον προσδραμὼν δ᾽ ὁ ed. pr. : ἀ-[, φαρμαχθεὶς γὰρ ὁ πέπλος τὰς σάρκας Barrett : ἀπέλιπ̣[εν· ἡ γὰρ ἐσ θὴς αὐτῇ τὴν σάρκα Luppe ‖ **21** ἀπέδ̣ρ̣[υ]ψεν leg. et suppl. Barrett | π[ατὴρ αὐτῆς αὐτίκα παρεγένετο Diggle ‖ **21s.** suppl. ed. pr. ‖ **22s.** [βουλόμενος καὶ ἀπὸ ταύ-]|της ed. pr. : [β- κ- πειρώμενος ἀπ᾽ αὐ-]|τῆς Page : [β- ἐπειρ(άσ)ατο αὐ- Luppe ‖ **23** ἀποσ̣π̣ά̣σ̣αι ṭα..[ Page (qui τὰ πε[ριπλεκόμενα dub. prop. : τὰ π̣ẹ[ριπλακέντα, ἐφαπτόμενος δὲ Luppe) : ἀποσπᾶν τα τ.[ ed. pr. («τ.[ vel π.[ ut vid.», Diggle) ‖ ..νεκρ̣ọ̀ị [πίπτο]υ[σιν ed. pr. : ṭω̣ ṿεκρω̣[ dub. Barrett : τοῦ] ṿεκρ̣ọῦ ṭ[ὸν βί]ọν μ̣[ετήλλαξεν. Ἰάσων δ᾽ ἀκούσας τὸ Luppe ‖ **25** π̣επραγμέṿ[ον.] εṭ..[ ed. pr. : π̣ẹπ̣ρ̣ạγμ̣έν[ον] ἐπ̣ῆ[λθεν Luppe («]εṭ vel ]επ̣», Diggle).

*(c)*

[ex argumento Medeae?]

.]ạμένη δ[ desunt litterae fere 23<br>
..]ῃρειαν· ṭ[<br>
σ̣εν αυτη[<br>
π̲τ̲ερωτὸν[

‖ **Π**[21] (ed. E.G. Turner, in E.G. T. et al., *The Oxyrhynchus Papyri*, XXVII, London 1962, 32-69: 32-25, 54) ‖ arg. tragoediae sequitur cuius nomen a littera M- incipit: de Medea ergo potius quam de Lycimnio parum noto hic verisimilius agitur ‖ **1** δ[ὲ Luppe ‖ **2** ἐπ]ῃρειαν dub. Turner : κατ᾽ ἐπ]ῃρειαν· τ[ὸν μὲν Ἰάσονα Luppe ‖ **3** αὐτῇ [δὲ Luppe ‖ **4** πτερωτὸν [ἅρμα Luppe

## ΜΗΔΕΙΑ

ΤΡΟΦΟΣ Εἴθ᾽ ὤφελ᾽ Ἀργοῦς μὴ διαπτάσθαι σκάφος

Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ᾽ ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ᾽ ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀριστέων οἳ τὸ πάγχρυσον δέρος
Πελίαι μετῆλθον. οὐ γὰρ ἂν δέσποιν᾽ ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ᾽ Ἰωλκίας
ἔρωτι θυμὸν ἐκπλαγεῖσ᾽ Ἰάσονος·
οὐδ᾽ ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
†φυγῇ πολιτῶν† ὧν ἀφίκετο χθόνα
αὐτῷ τε πάντα ξυμφέρουσ᾽ Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
νῦν δ᾽ ἐχθρὰ πάντα καὶ νοσεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ᾽ ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ᾽, ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ᾽ ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ᾽ ἄσιτος, σῶμ᾽ ὑφεῖσ᾽ ἀλγηδόσιν,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ᾽ ἠδικημένη,
οὔτ᾽ ὄμμ᾽ ἐπαίρουσ᾽ οὔτ᾽ ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων,
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ᾽ ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ᾽, οὓς προδοῦσ᾽ ἀφίκετο
μετ᾽ ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ᾽ ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ᾽ ὁρῶσ᾽ εὐφραίνεται.
δέδοικα δ᾽ αὐτὴν μή τι βουλεύσηι νέον·
βαρεῖα γὰρ φρήν, οὐδ᾽ ἀνέξεται κακῶς
πάσχουσ᾽· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν
μὴ θηκτὸν ὤσῃ φάσγανον δι᾽ ἥπατος,
σιγῇ δόμους ἐσβᾶσ᾽ ἵν᾽ ἔστρωται λέχος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.
δεινὴ γάρ· οὔτοι ῥαδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον ᾄσεται.
ἀλλ᾽ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

‖ Acta fabula est a. 431 a.C. Nutrix perturbata e domo Medeae egreditur; ad v. 45 paedagogus senex duo Medeae filios parvulos ducit

**Metr.:** ×⃗—⏑—,×⁝→⏑⁝→,×—⏑—‖ tribr. pro iamb.: vv. 2 -ᾰν κῠᾰν-, 9 -σᾰ Πῠλῐ-, 10 πᾰτέ̆ρᾰ; an. pro iamb.: v. 6 Πε̆λί̆ᾱͅ; dact. pro iamb.: vv. 18 -ῶν βᾰσῐλ-, 21 -κοῦς ἄ̆νᾰκ-, 31 -τῆν πᾰτέ̆-; synecphonesis quae dicitur: v. 35 μὴ ἀπολ-; crasis quae dicitur: v. 39 ἐγᾦδα; ‘correptio Attica’ quae dicitur: vv. 7 ἔ̆πλ-, 35 πᾰτρ-; non respicitur: vv. 1 δῐᾱπτ-, 4 ἐρε̄τμ-, 14 γῐ́γν-, 17 τέ̆κνα, 25 δᾱκρ-, 28 πέ̆τρος, -ᾱ κτ-; notabiliora: v. 11 μὲν in clausola.

‖ **(1-48) Ω LP (gVBE)**. **(5-12) Π[1]**. **(20-26) Π[2]**. **(1)** Ar. *Ra.* 1382 (cum schol.), [Hdn.] *Part.* 270, Eust. *Od.* 1419,49s., Thom. Mag. *Ecl.* 127,8. **(1 διαπτάσθαι σκάφος)** Eust. *Il.* 452,46, 526,46. **(1 διαπτάσθαι)** Eust. *Il.* 452,32, 1248,54. **(4 τμηθεῖσα)** Hesych. τ 1034 Cunn. **(5 πάγχρυσον δέρος)** Eust. *Il.* 600,12. **(8 ἔρωτι–ἐκπλαγεῖσ-)** Eust. *Il.* 374,13. **(13-15)** Stob. IV 23,30. **(13 αὐτή--φέρουσ-)** Ap. Soph. 146,22. **(13s. πάντα–σωτηρία)** Eust. *Il.* 734,14. **(19 αἰσυμνᾷ)** Hesych. α 2141 L., *Et. M.* α 554 L.-L. **(20s.–ὅρκους)** *schol.* Eur. *Med.* 97. **(20–δύστη-)** *IDelph.* («BCH» XLIX, 1925, 88). **(20-22)** *schol.* Ar. *Nu.* 81. **(21s.)** *Chr. pat.* 51s. **(24)** *schol.* Eur. *Med.* 97. **(25s.)** *Chr. pat.* 46s. **(27s.–πρόσωπον)** *Chr. pat.* 972s. **(34)** Eust. *Il.* 1203,30. **(38)** *Chr. pat.* 485, 1174, 1259. **(39s.)** *Chr. pat.* 491s. **(46-48)** Stob. IV 25,55. **(46-48–κακῶν)** Hdn. *GG* III/1 225,25-226,3, Choerob. in Theod. *GG* IV/1 236,15s. **(46s.–στ-)** *Et. M.* 769,51-54. **(46)** Ammon. *Adf. voc. diff.* 478 Nickau (= Trypho fr. 11 Velsen), *Gramm. Ambr.* in *Lex. Vind.* 254,15s. Nauck, *Σ´´´* τ 272 Cunn. ~ Phot. 608,2s. P. **(48)** *schol.* Soph. *Ai.* 554b, *Tr.* 144. **(48 νέα–)** Cyrill. *C. Iul. PG* VII 227B. **(48 οὐκ–φιλεῖ)** Chor. Gaz. 20,4 | Cf. **(1-15)** Call. ep. 17 Pf. **(1-11)** Clem. Alex. *Str.* VIII 9,25,4. **(1-8)** Enn. *Med.* 208-216, Catull. 64,171 (vd. Verg. *Aen.* IV 657s.). **(1 Ἀργοῦς …**

**σκάφος)** *schol.* **ATb** *Il.* II 133. **(2)** Chor. Gaz. 466,5. **(3)** *Chr. pat.* 2. **(5 δέρ-)** Chor. Gaz. 466,1s. **(6 οὐ γὰρ ἂν** eadem sede) *Chr. pat.* 3. **(8)** Chor. Gaz. 389,15, *Chr. pat.* 6. **(9 οὐδ' ἂν … πείσασα)** *Chr. pat.* 9. **(10s.)** *Chr. pat.* 14s. **(13-15)** *Chr. pat.* 32-34. **(14)** *Chr. pat.* 2602. **(16s.)** *Chr. pat.* 37s. **(20)** *Chr. pat.* 4. **(30)** Cf. *Chr. pat.* 974. **(31s.)** *Chr. pat.* 945s. **(32-35)** *Chr. pat.* 948-951. **(34)** *Chr. pat.* 53 et 950. **(35s.)** *Chr. pat.* 54s. **(37)** *Chr. pat.* 489, 1075, 1172. **(43)** *Chr. pat.* 493. **(46)** Eur. fr. 105 K.

---

‖ **inscr.** Μήδεια **V** : Εὐριπίδου Μήδεια **WFLP** : omm. ceteri ‖ **1 pers.** omm. **Vc[D]WHn** ‖ **2** αἶαν codd. pll. : Αἶαν *schol.*$^{\text{interpr.}}$ ‖ **5** ἀρίστων codd. et *schol.* : ἀριστέων Wakefield | τὸ codd. : δε **Π**$^{1}$ | δέρος **Π**$^{1}$**L** Eust. : -ας **ΩP** *schol.*, Chor. ‖ **7** Ἰωλκίας testt. pll. : Ἰολ- **Π**$^{1}$**Vc** ‖ **8** θυμὸν codd. : θυμω δ **Π**$^{1}$ ‖ **9** οὐδ' ἂν codd. : οταν **Π**$^{1}$ ‖ **10** κατῴκει codd. pll. : κατοικη **Π**$^{1}$ : κατώκη **V**$^{3s}$ | post h. v. lac. statuit Usener ‖ **11-15** secll. Wheeler, Klinkenberg, Hübner ‖ **11** ξὺν **VLP** : σὺν codd. pll. ‖ **12** φυγῇ πολιτῶν codd. pll. (cruc. concl. Diggle) : φ- πολίταις **B**$^{gl}$**V**$^{2s}$ : φυλῇ (vel ψυχῇ) πολιτῶν Canter : φυγὰς πολίταις Pierson, quod rec. Mastronarde : φύσει πολίταις Jacobs : ὀργῇ πολιτῶν Musgrave : alii alia | χθόνα codd. : χθονός **Π**$^{1}$ | h. v. secl. Kvíčala : post v. 30 transpp. Nauck, Ussher ‖ **13** αὐτὴ testt. : -τῷ Sakorraphos | τε codd. : om. Ap. Soph. : δὲ Stob. | ξυμφ- **V** : συμφ- codd. pll. Ap. Soph., Stob., Eust. ‖ **16** πάντα codd. pll. : τὰ π- **Vc gE** : τὰ καίρια *Chr. pat.* ‖ **17** αὑτοῦ **Hn** : αὐ- codd. pll. | τ' om. **A** ‖ **18** γάμοις testt. : λέκτροις Nauck ‖ **21** δὲ omm. **A** *Chr. pat.* | δεξιάς **BO**$^{ac}$**V**$^{ac}$**HnLPgE** *schol.* Ar., *Chr. pat.* : -ᾶς **O**$^{pc}$**VcDWFAV**$^{pc}$**Nv** : non liquet in **Π**$^{2}$ ‖ **22** θεοὺς testt. pll. : θεὸν *Chr. pat.* ‖ **23** ἀμοιβῆς codd. pll. : -ᾶς **Hn** | κυρεῖ codd. pll. : -οῖ **gE** et fort. **VcΠ**$^{2}$ ‖ **24** ἀλγηδόσι(ν) **DWFAVHnLP** *schol.* (interpr.) : -δόνι **BOVcNvgE[Π**$^{2}$**]** *schol.* ‖ **25** συντήκουσα codd. pll. : -τείνουσα *schol.*$^{γρ}$ : -τακεῖσα [**Π**$^{2}$] Lenting | χρόνον testt. : χρόα [**Π**$^{2}$] Housman : βίον Blaydes ‖ **26** ἀνδρὸς testt. pll. : ἐχθροῦ *Chr. pat.* | h. v. del. Usener ‖ **29** νουθετουμένη codd. pll. : -ημένη **WV**$^{1}$**Nv** ‖ **30** ἢν codd. pll. : ἣν **AV**$^{ac}$ : ἢ **VcV**$^{pc}$ | μή codd. pll. : δή **L**$^{s}$ | δέρην codd. pll. : κάρα **LW** ‖ **31** αὑτὴν **B**$^{2}$**ODWFHnL**$^{c}$ : αὐ- **BVcAVNvLP** | ἀποιμώξῃ **BVcLP** : -ξει **O** : -ζῃ **W**$^{1}$**F** : -ζει codd. pll. ‖ **33** ὅς σφε (fere) codd. pll. : ὃς σφὲ **P** : ὁσφὲ **D** : ὡς σφε **Vc** | νῦν codd. pll. : νιν **V**$^{c}$ : μιν **Hn** ‖ **34** δ' ἡ codd. pll. : δὲ **VcgE** ‖ **35** μὴ ἀπολείπεσθαι codd. pll. : μὴ 'πολ- **LP** ‖ **37** αὑτὴν testt. pll. : -ὸν *Chr. pat.* 1075 | νέον testt. pll. : κακόν **BOVcVNvgE** *schol.* ‖ **38-43** dell. Dindorf, Wecklein, Page, Regenbogen, Müller, Imhof, Reeve, Christmann, Diggle ‖ **38** κακῶς testt. pll. : βλέπειν *Chr. pat.* 485 : κλύειν *Chr. pat.* 1174 ‖ **39** τέ νιν codd. pll. : δέ ν- **LP** : γέ ν- **W** : πλέον *Chr. pat.* ‖ **40-43** dell. Nauck, Weil, Verrall, Méridier ‖ **40s.** dell. Giesing, Tièche, Arnott ‖ **41-43** del. Hermann ‖ **41** dell. Musgrave, Elmsley, Porson, Fix, Willink ‖ **42** ἢ καὶ codd. : μὴ τὴν Kayser | τυράννους Hermann : τύραννον codd. | τόν τε codd. pll. : τόνδε **V** : τόν γε **W** : τόν** **L** | post h.v. des. **F** | h.v. dell. Valckenaer, Pierson ‖ **43** λάβῃ codd. pll. : -οι **Hn** | h.v. om. **D** ‖ **44** οὔτοι **BVcDWVA**$^{s}$**gE** : οὔτι **OAHnNvLP** ‖ **45** τις codd. pll. : τιν' **gE** | καλλίνικον οἴσεται codd. : κ- ᾄσεται post Muretum edd. nonnulli : -ος ᾄσ- Willink : -ος οἴχεται Fuldner ‖ **46** ἀλλ' οἵδε testt. pll. : ἀ- οἵ γε Stob. : ἄλλοι δὲ *Σ´´´* | τρόχων testt. pll. : τροχῶν voluit Trypho ‖ **47** στείχουσι testt. pll. : στίχουσιν *Et. M.*